# ΣΑΒΒΑΤΟΝ πρὸ τῆς ΑΠΟΚΡΕΩ

## Μνεία πάντων τῶν ἀπ᾽ αἰῶνος κοιμηθέντων εὐσεβῶς, ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου



*Μικρογραφία (1693), ρωσικῆς τέχνης, Ἱ. Εὐαγγέλιον, BAN Αρχ. κομ. 379, φ. 596α.*

**Ἀπολυτίκιον Νεκρώσιμον.**

Ἦχος πλ. δ΄.

Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων μόνε Δημιουργέ, ἀνάπαυσον Κύριε, τὰς ψυχὰς τῶν δούλων Σου· ἐν Σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν.

**Κοντάκιον.** Ἦχος πλ. δ΄.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον Χριστέ, τὰς ψυχὰς τῶν δούλων Σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

**Στίχοι.**

Ἀμνημόνησον πταισμάτων νεκροῖς, Λόγε,
Τὰ χρηστὰ νεκρὰ σπλάγχνα Σου
μὴ δεικνύων.

## Τῷ Σαββάτῳ τῆς Ἀπόκρεω

*(Α΄ Κορ. ι΄ 23-28· **Κ**εκοιμ.: Α΄ Θεσ. δ΄ 13-17· Λουκ. κα΄ 8-9, 25-27, 33-36· **Κ**εκοιμ.: Ἰωάν. ε΄ 24-30)*

Μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἀπ᾽ αἰῶνος εὐσεβῶς κεκοιμημένων Πατέρων καὶ Ἀδελφῶν ἡμῶν.

Ἐξ αὐτῶν τῶν Ἀποστολικῶν Διαταγῶν, ἐν Βιβλίῳ η΄, κεφ. μβ΄, ἔλαβεν ἡ τοῦ Χριστοῦ Ἐκκλησία τὴν συνήθειαν τοῦ ἐπιτελεῖν τὰ λεγόμενα τρίτα καὶ ἔνατα καὶ τεσσαρακοστὰ καὶ λοιπὰ Μνημόσυνα τῶν κεκοιμημένων.

Ἐπειδὴ δὲ πολλοὶ κατὰ καιροὺς ἀπέθανον ἄωρα ἢ εἰς ξενιτείαν, ἢ εἰς θάλλασαν, ἢ εἰς ὄρη καὶ κρημνούς, ἴσως δὲ καὶ πένητες ὄντες οὐκ ἠξιώθησαν τῶν διατεταγμένων Μνημοσύνων· διὰ τοῦτο φιλανθρώπως οἱ θεῖοι Πατέρες κινούμενοι, ἐθέσπισαν σήμερον Μνημόσυνον κοινὸν πάντων τῶν ἀπ᾽ αἰῶνος εὐσεβῶς τελευτησάντων Χριστιανῶν, ἵνα καὶ

ὅσοι τῶν μερικῶν Μνημοσύνων οὐκ ἔτυχον συμπεριλαμβάνωνται εἰς τὸ κοινὸν τοῦτο κᾀκεῖνοι.

Πρὸς τούτοις, ἐπειδὴ αὔριον ποιοῦμεν τὴν ἀνάμνησιν τῆς Δευτέρας Παρουσίας τοῦ Χριστοῦ, καὶ ἐπειδὴ οἱ κεκοιμημένοι οὐδὲ ἐκρίθησαν, οὐδὲ ἔλαβον ἔτι τὴν τελείαν ἀντάμειψιν (Πράξ. ιζ΄ 31· Β΄ Πέτρ. β΄ 9· Ἑβρ. ια΄ 30-40), εὐκαίρως μνημονεύει σήμερον τῶν ψυχῶν ἡ Ἐκκλησία καί, εἰς τὸ ἄπειρον ἔλεος τοῦ Θεοῦ θαῤῥοῦσα, δέεται ἵνα ἐλεήσῃ τοὺς ἁμαρτωλούς.

Ὅτι δὲ ἁπάντων κοινῶς τῶν τεθνεώτων ἡ μνήμη ἐνθυμίζει τὸν κοινὸν θάνατον καὶ εἰς ἡμᾶς ἐν καιρῷ ἁρμοδίῳ καὶ διεγείρει πρὸς μετάνοιαν, τοῦτό ἐστι τρίτον αἴτιον τοῦ παρόντος μνημοσύνου.

❖



*Μικρογραφία (1693), ρωσικῆς τέχνης, Ἱ. Εὐαγγέλιον, BAN Αρχ. κομ. 379, φ. 93β.*